Θε. Νὴ τὴν Ἀφροδίτην, πολύγ' ἀπάντων ὕστατος.
Ὅμως δ' ἐκέλευε συλλαβοῦσάν μ' ἡ γυνὴ
Ἄγειν σε καὶ τασδὶ μετὰ σοῦ τὰς μείρακας.
Οἶνος δὲ Χῖος ἐστὶ περιλελειμμένος
Καὶ τἄλλ' ἀγαθὰ πρὸς ταῦτα μὴ βραδύνε-
τε,
Καὶ τῶν θεατῶν εἴ τις εὔνους τυγχάνει,
Καὶ τῶν κριτῶν εἰ μή τις ἑτέρωσε βλέπῃ,
Ἴτω μεθ' ἡμῶν. πάντα γὰρ παρέξομεν.
Οὐκοῦν ἅπασι δῆτα γενναίως ἐρεῖς,
Καὶ μὴ παραλείψῃς μηδέν. ἀλλ' ἐλευθέ-
ρως
Καλεῖν γέροντα μειράκιον παιδίσκον. ὡς
Τὸ δεῖπνον αὐτοῖς ἔστ' ἐπεσκευασμένον
Ἅπαξ ἅπασιν. ἢν ἀπίωσιν οἴκαδε.
Ἐγὼ δὲ πρὸς τὸ δεῖπνον ἤδη 'πείξομαι
Ἔχουσά τοι καὶ δᾷδα ταυτηνὶ καλῶς.
Τί δῆτα διατρίβεις ἔχων; ἀλλ' οὐκ ἄγεις
Τασδὶ λαβών. ἐν ὅσῳ δὲ καταβαίνῃς ἐγὼ
Ἐπᾴσομαι μέλος τι μελοδειπνικόν.

A *Ser. Per Venerem, multo omnino vltimus.*
*Tamen autem iussit comprehendens me mulier*
*Ducere te, & has tecum adolescentes.*
*Vinum autem Chium est relictum,*
*Et alia bona ad hæc, ne tardate.*
*Et spectatorum si quis beneuolus est,*
*Et iudicum si non quis alio respiciat,*
B *Veniat mecum, omnia enim præbebimus.*
*Igitur omnibus certè generosè dices,*
*Et non relinques nullum. sed liberè*
*Vocare senem adolescentulam puellam ad*
*Cœnam, ipsis est præparatum*
*Omnibus, si abibunt domum.*
*Ego autem ad cœnam iam festinabo,*
*Habens & tædam hanc bene.*
*Quid igitur moraris habens? sed non ducis*
C *Has capiens? interim dum autem descendis, ego*
*Cantabo cantum aliquem cœnatiuum.*

Σχόλια. Τασδὶ τὰς μείρακας] τὰς τοῦ χοροῦ.
Bisetus. Ἤδη 'πείξομαι] τὸ πλῆρες ἤδη ἐπείξομαι, ἤγουν μετὰ σπουδῆς ἐλεύσομαι. Μέλος μελοδειπνικόν] τὸ τοῦ μέλλοντος, ἐσομένου δείπνου μέλος. οὕτω γὰρ διὰ διπλοῦ λλ γραπτέον.

D

## ΠΑΡΑΒΑΣΙΣ.

## Parabasis.

Bisetus. Ἐν ταύτῃ τῇ παραβάσει ὁ Χορὸς εἰς δύο διῃρημένος τὰ ἑξῆς λέγει.

Σμικρὸν δ' ὑποθέσθαι τοῖς κριταῖσι βού-
λομαι,
Τοῖς σοφοῖσι μὲν τῶν σοφῶν μεμνημένοις κρίνειν
ἐμέ.
Τοῖς γελῶσι δ' ἡδέως, διὰ τὸν γέλων κρίνειν
ἐμέ.
Σχεδὸν ἅπαντας οὖν κελεύω δηλαδὴ κρίνειν
ἐμὲ,
Μηδὲ τὸν κλῆρον γενέσθαι μηδὲν ἡμῖν αἴτιον
Ὅτι προείληχ'. ἀλλ' ἅπαντα ταῦτα χρὴ μεμνη-
μένους
Μὴ 'πιορκεῖν. ἀλλὰ κρίνειν τοὺς χοροὺς ὀρθῶς
ἀεί.
Μηδὲ ταῖς κακαῖς ἑταίραις τόν γε τρόπον προσ-
εικέναι
Αἳ μόνον μνήμην ἔχουσι τῶν τελευταίων
ἀεί.
Ὢ ὢ ὥρα δὴ φίλαι.
Γυναῖκες εἴπερ μέλλομεν τὸ χρῆμα δρᾶν
Ἐπὶ τὸ δεῖπνον ὑπανακινεῖν. κρητικῶς οὖν τὼ
πόδε
Καὶ σὺ κίνει. Ἡμι. τοῦτο δρῶ.

*Parum autem consultare iudicibus volo.*
*Sapientibus quidem sapientum recordantes iudicare me,*
E *Ridentibus autem dulciter per risum iudicare me.*
*Manifestè omnes igitur iubeo videlicet indicare me,*
*Non autem sortem fieri nil nobis causam,*
*Quod sortita sum. sed omnia hæc oportet recordantes*
F *Non peierare, sed iudicare choros rectè semper:*
*Neque malis meretricibus more assimilari,*
*Quæ solum memoriam habet vltimorum semper.*
*O ô hora dilecta*
*Mulieres, si volumus rem facere,*
G *Ad cœnam mouete. creticè igitur pedes,*
*Et tu moue. Semich. hoc facio,*

Σχόλια. Μὴ τὸν κλῆρον] ἐπὶ τοῦ πρώτου εἰπόντος ὥσπερεὶ ἐμιαίνετο. τὰ ποιήματα δὲ τῶν ἐκλεγόντων. Προείληχα] πρῶτος εἰπεῖν ἐκλήθην. τὸ χρῆμα δρᾶν ἐξιέναι.

Bisetus. Προσεικέναι] προσεοικέναι, ὁμοίους εἶναι. Τὸ χρῆμα δρᾶν] ἐξιέναι. ἐπὶ τὸ δεῖπνον ἐλθεῖν. Κρητικῶς] Σ. κρητικὸς ῥυθμός ἐστιν οὕτω καλούμενος.